Ακαδημία Αθηνών / Academy of Athens

**σύμπας** (τύπ. ξύμπας) **1.** Ὅλα, all, Ἀναξαγόρας 1.5 *ταῦτα γὰρ μέγιστα ἔνεστιν ἐν τοῖς σύμπασι καὶ πλήθει καὶ μεγέθει* Δημόκριτος 11 *γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ σκοτίη· καὶ σκοτίης μὲν τάδε σύμπαντα, ὄψις, ἀκοή, ὀδμή, γεῦσις, ψαῦσις.* || Δημόκριτος 165 *λέγω τάδε περὶ τῶν ξυμπάντων* **2.** Ὁλόκληρος, whole, Ἀναξαγόρας 12.12 *τῆς περιχωρήσιος τῆς συμπάσης νοῦς ἐκράτησεν, ὥστε περιχωρῆσαι τὴν ἀρχὴν* Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος* **3.** Τὸ σύμπαν, the Whole, Ἀναξαγόρας 4.20 *ἐν τῷ σύμπαντι χρὴ δοκεῖν ἐνεῖναι πάντα χρήματα* **4.** Καθόλου/συνολικά, generally/on the whole, Διογένης 2.1 *ἐμοὶ δὲ δοκεῖ τὸ μὲν ξύμπαν εἰπεῖν πάντα τὰ ὄντα ἀπὸ τοῦ αὐτοῦ ἑτεροιοῦσθαι καὶ τὸ αὐτὸ εἶναι.* Πρβλ. πᾶς.

**συμπήγνυσθαι.** Συμπήγνυμαι/συντίθεμαι, be congealed/be composed of, Ἀναξαγόρας 4.4 *καὶ ἀνθρώπους τε συμπαγῆναι καὶ τὰ ἄλλα ζῷα ὅσα ψυχὴν ἔχει* 16.1-3 *ἀπὸ τουτέων ἀποκρινομένων συμπήγνυται γῆ· ἐκ μὲν γὰρ τῶν νεφελῶν ὕδωρ ἀποκρίνεται, ἐκ δὲ τοῦ ὕδατος γῆ, ἐκ δὲ τῆς γῆς λίθοι συμπήγνυνται ὑπὸ τοῦ ψυχροῦ.* Πρβλ. πήγνυσθαι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**συμπίπτειν 1.** Συμπίπτω/συναντῶμαι, coincide/come together, Ἐμπεδοκλῆς 59.2 *αὐτὰρ ἐπεὶ κατὰ μεῖζον ἐμίσγετο δαίμονι δαίμων, ταῦτά τε συμπίπτεσκον, ὅπη συνέκυρσεν ἕκαστα* Ἀρχύτας 1.14 *πλαγὰν δ' ἔφαν γίνεσθαι, ὄκκα τὰ φερόμενα ἀπαντιάξαντα ἀλλάλοις συμπέτη* **2.** Συμπίπτω/συμβαίνω, happen/occur, Ἀρχύτας 2.6 *καὶ ἐν ταύτᾳ ⟨τᾷ⟩ ἀναλογίᾳ συμπίπτει ἦμεν τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖον, τὸ δὲ τῶν μειόνων μεῖζον.* Πρβλ. συγκύρειν, ἀπαντιάζειν.

**συμφέρειν 1.** Συμπορεύομαι/συμφωνῶ, go along together/agree, Ἡράκλειτος 8 *τὸ ἀντίξουν συμφέρον* **2.** Συμφέρω/ὠφελῶ, be advantageous/benefit, Δημόκριτος 74 *ἡδὺ μηδὲν ἀποδέχεσθαι, ἢν μὴ συμφέρῃ* 107 *φίλοι οὐ πάντες οἱ ξυγγενέες, ἀλλ' οἱ ξυμφωνέοντες περὶ τοῦ ξυμφέροντος* 237 *φιλονικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θεωρεῦσα τὸ ἴδιον συμφέρον οὐ βλέπει* 253 *τοῖς χρηστοῖσιν οὐ συμφέρον*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἀμελέοντας τῶν ἑωυτῶν ἄλλα πρήσσειν. || **συμφέρεσθαι 1.** Συμφέρομαι/ἐναρμονίζομαι, go along with/be harmonized with, Ἡράκλειτος 10 *συνάψιες ὅλα καὶ οὐχ ὅλα, σ υ μ φ ε ρ ό μ ε ν ο ν διαφερόμενον, συνᾷδον διᾷδον* **2.** Συνάγω/μαζεύω καὶ φέρνω, gather/collect and bear, Ἀναξαγόρας 4.10 *ἐκεῖνοι τὰ ὀνήιστα σ υ ν ε ν ε γ κ ά μ ε ν ο ι εἰς τὴν οἴκησιν χρῶνται.*

**συμφορά.** Συμφορὰ/δυστυχία, calamity/misfortune, Δημόκριτος 42 *μέγα τὸ ἐν ξ υ μ φ ο ρ ῇ σ ι φρονεῖν ἃ δεῖ* 76 *νηπίοισιν οὐ λόγος, ἀλλὰ ξ υ μ φ ο ρ ὴ γίνεται διδάσκαλος* 107a *ἄξιον ἀνθρώπους ὄντας ἐπ' ἀνθρώπων σ υ μ φ ο ρ α ῖ ς μὴ γελᾶν, ἀλλ' ὀλοφύρεσθαι* 215 *ἀδικίης δὲ δεῖμα ξ υ μ φ ο ρ ῆ ς τέρμα* 293 *αἱ τῶν πέλας ξ υ μ φ ο ρ α ί.*

**σύμφορον** (ἀντίθ. *ἀσύμφορον*). Συμφέρον/ὠφέλιμο, advantageous/beneficial, Δημόκριτος 4 *τέρψις γὰρ καὶ ἀτερπίη οὖρος ⟨τῶν σ υ μ φ ό ρ ω ν καὶ τῶν ἀσυμφόρων ...⟩* 188 *ὅρος σ υ μ φ ό ρ ω ν καὶ ἀσυμφόρων τέρψις καὶ ἀτερπίη.* Πρβλ. *συμφέρειν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**συμφρόνησις** (συνών. *ὁμοφροσύνη*). Ὁμοφροσύνη/συμφωνία, agreement, Φιλόλαος 10 *ἔστι γὰρ ἁρμονία πολυμιγέων ἕνωσις καὶ δίχα φρονεόντων σ υ μ φ ρ ό ν η σ ι ς.*

**συμφύεσθαι.** Συμφύομαι/συναναπτύσσομαι, grow together, Ἐμπεδοκλῆς 26.7 *εἰσόκεν ἓν σ υ μ φ ύ ν τ α τὸ πᾶν ὑπένερθε γένηται* 95 *Κύπριδος ... ἐν παλάμῃσιν ὅτε ξ ὺ μ πρῶτ' ἐ φ ύ ο ν τ ο.*

**συμφύρεσθαι.** Συμφύρομαι, be kneaded together, Δημόκριτος 285 *ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον πολλῇσίν τε κηρσὶ σ υ μ π ε φ υ ρ μ έ ν η ν καὶ ἀμηχανίῃσιν.*

**σύμφυτος.** Σύμφυτος, congenital, Φιλόλαος 11.26 *ἁ δ' ἀλήθεια οἰκεῖον καὶ σ ύ μ φ υ τ ο ν τᾷ τῶ ἀριθμῶ γενεᾷ.*

**συμφωνεῖν.** Συμφωνῶ, agree, Δημόκριτος 107 *φίλοι οὐ πάντες οἱ ξυγγενέες, ἀλλ' οἱ ξ υ μ φ ω ν έ ο ν τ ε ς περὶ τοῦ ξυμφέροντος.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ